UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

Universitätsbibliothek Paderborn

# Eusebiu Tu Pamphilu Ekklēsiastikē Istoria

**Eusebius <Caesariensis>**

**Mogvntiae, 1672**

XL. Ut martyria & coemeteria Ecclesiis reddantur.

urn:nbn:de:hbz:466:1-14478

Visual Library

malorum multiplex spectaculum obversaretur: cùm atrociter expellerentur homines, & absque ulla miseratione trucidarentur; cùm profligatæ & hac illac temerè dispersæ jacerent facultates: cùm crebræ innocentum proscriptiones, & insatiabilis persecutionum furor, & bonorum venditiones cernerentur. Enimvero si qui fortè hujusmodi sermonibus nituntur, & in avaritiæ suæ excusationibus perseverant, non impunè id sibi fore sentient: præsertim cùm hac potissimum ratione operam nostram ac ministerium Deo optimo maximo exhibeamus. Quæcumque igitur exitialis necessitas coëgit accipere, ea nunc retinere periculosum est. Adde quòd insatiabiles cupiditates, partim ratione, partim exemplis omnino minuendæ sunt.

## Caput XXXIX.

*Vt fiscus fundos, ædes & hortos restituat Ecclesiis.*

Neque enim vel fisco concedetur, si quid eorum quæ suprà dixi possideat, id firmiter retinere. Verùm adversus sacrosanctas Ecclesias nihil obloqui ausus, ea quæ aliquandiu injustè detinuit, Ecclesiis tandem jure restituet. Omnia ergo quæ ad Ecclesias rectè visa fuerint pertinere: sive domus ac possessio sit, sive agri, sive horti, seu quæcumque alia; nullo jure quod ad dominium pertinet imminuto, sed salvis omnibus atque integris manentibus, restitui jubemus.

## Caput XL.

*Vt martyria & cœmeteria Ecclesiis reddantur.*

Sed & loca illa quæ martyrum reliquiis honorata sunt, & quæ gloriosi illorum interitus memoriam servant, quis ambigat ad Ecclesias pertinere? Immo vero quis non id præcipiat? Quando nec munus ullum præstantius, nec labor ullus jucundior atque utilior esse potest, quàm divino Spiritu impellente, harum rerum diligentem curam gerere; ut quæ improbo quodam prætextu ab injustis ac nequissimis hominibus ablata sunt, ea justissimè restituta sanctis Dei Ecclesiis denuo redhibeantur.

A τότε, ἡνίκα πολύτροπος ἁπάντων τῶν δεινῶν ἦν θέα. ὠμῶς ἀπελαυνόμενοι. ἀφειδῶς ἀπολλύμενοι. ἀμελῶς ἐρριμμένοι. δημεύσεις τῶν οὐδὲν αἰτίων συχναί. διώξεις τ᾽ ἀκόρεστοι, τῶν ὄντων διαπράσεις. εἰ δὴ τοῖς τοιούτοις διισχυρίζοιντο λόγοις τινὲς, καὶ ταῖς ἀπλήστοις ἐπιμένοιεν προαιρέσεσιν, οὐκ ἀτιμώρητον αὐτοῖς τὸ τοιοῦτον αἰσθήσονται. καὶ μάλισθ᾽ ὅτι τε οὕτω τὰ παρ᾽ ἡμῶν τῷ μεγίστῳ διακονεῖται Θεῷ. ὅσα γοῦν πρότερον ἡ ὀλέθριος ἀνάγκη συνηνάγκασε λαμβάνειν, ταῦτα νῦν κατέ-
B χειν ἐπισφαλὲς ὑπάρχει. ἄλλως τε ἢ παντὶ τρόπῳ τὰς ἀπληστίας καὶ λογισμοῖς καὶ παραδείγμασιν ἐλαττοῦν ἀναγκαῖον.

## ΚΕΦΑΛΑΙΟΝ ΛΘ.

Ταῖς ἐκκλησίαις ἀποδοῦναι τὸ ταμεῖον, χωρία καὶ κήπους καὶ οἰκίας.

Οὐδὲ γὰρ τὸ ταμεῖον εἴ τι κατέχοι τῶν προειρημένων, βεβαίως κατέχειν συγχωρηθήσεται. ἀλλ᾽ οἷον οὐδὲ ἀντιφθέγξασθαι
C πρὸς τὰς ἱερὰς ἐκκλησίας τολμῆσαι, ὧν τινα χρόνον οὐ δικαίως κατέσχε, τούτων ἐκστήσεται δικαίως ταῖς ἐκκλησίαις. ἅπαντα δὴ ὅσα ταῖς ἐκκλησίαις προσήκειν ὀρθῶς ἂν φανείη, εἴτ᾽ οἰκίαι τὸ κτῆμα τυγχάνοιεν. εἴτ᾽ ἀγροί τινες καὶ κῆποι. εἴθ᾽ ὁποῖα δήποτε ἕτερά τινα, οὐδενὸς τῶν εἰς τὴν δεσποτείαν ἐλαττουμένου δικαίου, ἀλλ᾽ ἀκεραίων πάντων μενόντων, ἀποκαθίστασθαι προστάττομεν.

## ΚΕΦΑΛΑΙΟΝ Μ.

Τὰ μαρτύρια καὶ τὰ κοιμητήρια ταῖς ἐκκλησίαις ἐξιδιοῦσθαι προστάττομεν.

D Καὶ μὴν καὶ τοὺς τόπους αὐτοὺς οἳ τοῖς σώμασι τῶν μαρτύρων τετίμηνται, καὶ τῆς ἀναχωρήσεως τῆς ἐνδόξου ὑπομνήματα καθεστᾶσι, τίς ἂν ἀμφιβάλλοι μὴ οὐχὶ ταῖς ἐκκλησίαις προσήκειν, ἢ οὐχὶ καὶ προστάξειεν ἄν; ὡς ἂν μήτε δῶρον ἄμεινον, μήτε κάματος χαριέστερος καὶ πλείω ἔχων ὠφέλειαν ἕτερός τις γένοιτο, ἢ τοῦ θείου προτρέποντος πνεύματος τὴν περὶ τούτων ποιεῖσθαι σπουδήν. καὶ ἃ μετὰ πονηρῶν ἀφῃρέθη προφάσεων ὑπὸ τῶν ἀδίκων καὶ μοχθηροτάτων ἀνδρῶν, ἀποκατασταθέντα δικαίως, ταῖς εὐαγέσιν αὖθις ἐκκλησίαις ἀποσωθῆναι.

UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN